ἐν δὲ τῇ δεξιᾷ ἔχων παλτὸν ὡς ἑξάπηχυ, ἔμπροσθεν μὲν λόγχην E
ἔχον, ὄπισθεν δὲ αὐτοῦ τοῦ ξύλου σφαιροειδές.

119 Παλτάρια: σεμίδαλις. Σ

120 Παλυνομένης: λευκαινομένης. τῆς χώρας τῶν Σκυθῶν θαμὰ Ar. + EL
νιφετῷ παλυνομένης.

121 Παμμάχιον: παγκράτιον. Σ

122 Πάμβαξ καὶ Παμβακίς: τὸ παρὰ πολλοῖς λεγόμενον βαμ-
βάκιον. καὶ τὴν τρυτοδόκην κοιτίδα παμβακίδων. Anth.

123 Πάμβορον: κάκοσμον. Ἰώσηππος· τὸ πάμβορον γεγενήκοι βορὰν E
ἡδεῖαν ἐξ αὐτοῦ. τὸν λέοντα σημαίνων καὶ κηρία μέλιτος.

124 Παμβορώτατον. Δ

125 Παμβωτάδες· Παμβῶται δῆμος τῆς Ἐρεχθηΐδος. Harp.

126 Παμμήστορα: πάντων τεχνίτην. Σ

127 Πάμπαν: παντελῶς. Δράκων δὲ ὁ Στρατονικεὺς συναλοιφὴν Σ
εἶναί φησιν ἐκ τοῦ. παντάπασι.

128 Παμπήδην: παντελῶς. Σ

129 Παμπησίαν: πᾶσαν τὴν κτῆσιν. σὺ δ᾽, ὦ Σίκων καὶ Ξενό- Ar.
φαντες, αἵρεσθε τὴν παμπησίαν.

130 Παμπόλη: ὄνομα πόλεως. Δ

131 Παμπόλλη: ἡ πολλὴ καὶ ποικίλη.

132 Πάμπλειστος. Δ

133 Παμπλήγδην. Δ

134 Παμπληθεί· καὶ Πάμπληθες, ἀντὶ τοῦ πολύ.

135 Παμπληθεῖς: πάνυ πολλάς. Σ

136 Παμπρέπιος, Πανοπολίτης, ἐπῶν ποιητής, ἀκμάσας κατὰ Ζή- Hesy.
νωνα τὸν βασιλέα. ἔγραψεν Ἐτυμολογιῶν ἀπόδοσιν, Ἰσαυρικὰ κατα-
λογάδην.

137 Παμπρέπιος· οὗτος μέγα παρὰ Ζήνωνι ἐδυνήθη· γένος μὲν E
ὢν Θηβαῖος τῶν κατὰ τὴν Αἴγυπτον, φύσει δὲ πρὸς ἅπαντα δεξιᾷ